# E07.1.0 + 1.1a Lesehilfe 2

| | |
|---|---|
| Ὁ γέ | = Doppelkürze statt Kürze |
| ϑυγα | = Doppelkürze statt Länge mit „Betonung“ der ersten Kürze |
| κυρίωι | = langer Vokal (α, ι, υ) |
| ˈ | = Ende eines Metrums |
| | Bitte lest immer auf das ˈ hin! |

Ὁ γέρων δ’ ἔχωνˈ τὴν ϑυγατέρ’ αὐˈτὸς ζῆι μόνος
καὶ γραῦν ϑεράπαιˈναν, ξυλοφορῶνˈ σκάπτων τ’, ἀεὶ
πονῶν, ἀπὸ τούˈτων ἀρξάμενοςˈ τῶν γειτόνων
καὶ τῆς γυναιˈκὸς μέχρι Χολαργˈέων κάτω
μισῶν ἐφεˈξῆς πάντας. Ἡˈ δὲ παρϑένος
γέγονεν ὁμοίˈα τῆι τροφῆιˈ τις, οὐδὲ ἓν
εἰδυῖα φλαῦˈρον. Τὰς δὲ συντρˈόφους ἐμοὶ
Νύμφας κολακεύˈουσ’ ἐπιμελῶςˈ τιμῶσά τε
πέπεικεν αὐˈτῆς ἐπιμέλειˈαν σχεῖν τινα
ἡμᾶς· νεανίσκον τε καὶˈ μάλ’ εὐπόρου
πατρὸς γεωργˈοῦντος ταλάντˈων κτήματα
ἐνταῦϑα πολλˈῶν, ἀστικὸνˈ τῆι διατριβῆι,
ἥκο]ντ’ ἐπὶ ϑήˈραν μετὰ κυνηˈγέτου τινὸς
φίλο]υ κατὰ τύˈχην παραβαλόντ’ˈ εἰς τὸν τόπον
αὐτῆ]ς ἔχεινˈ πως ἐνϑεαστˈικῶς ποῶ.
Ταῦτ’ ἐστὶ τὰ κεφˈάλαια, τὰ καϑ’ˈ ἕκαστα δὲ
ὄψεσϑ]’ ἐὰνˈ βούλησϑε – βουˈλήϑητε δέ.
Καὶ γὰ]ρ προσιόνϑ’ˈ ὁρᾶν δοκῶˈ μοι τουτονὶ
τὸν ἐρῶντα τόν τˈε συγκ[υνηˈγέτη]ν ἅμα,
αὑτοῖς ὑπὲρˈ τούτων τι σ[υγκˈοινουμ]ένους.
***Χαι·*** Τί φῄς; Ἰδὼνˈ ἐνϑένδε παῖδ’ˈ ἐλευϑέραν
τὰς πλησίον Νˈύμφας στεφανοῦˈσαν, Σώστρατε,
ἐρῶν ἀπῆλϑˈες εὐϑύς; ***Σώ·*** Εὐˈϑύς. ***Χαι·*** Ὡς ταχύ.
Ἦ τοῦτ’ ἐβεβούˈλευσ’ ἐξιώνˈ, ἐρᾶν τινος;
***Σώ·*** Σκώπτεις· ἐγὼˈ δέ, Χαιρέαˈ, κακῶς ἔχω.
***Χαι·*** Ἀλλ’ οὐκ ἀπιστˈῶ. ***Σώ·*** Διόπερ ἥˈκω παραλαβὼν
σὲ πρὸς τὸ πρᾶγμˈα, καὶ φίλον κˈαὶ πρακτικὸν
κρίνας μάλιστˈα. ***Χαι·*** Πρὸς τὰ τοιαῦˈτα, Σώστρατε,
οὕτως ἔχωˈ· παραλαμβάνειˈ τις τῶν φίλων
ἐρῶν ἑταίˈρας· εὐϑὺς ἁρπˈάσας φέρω,
μεϑύω, κατακάω, λόγον ὅλως οὐκ ἀνέχομαι·
πρὶν ἐξετάσαιˈ γὰρ ἥτις ἐστˈί, δεῖ τυχεῖν.
Τὸ μὲν βραδύˈνειν γὰρ τὸν ἔρωτ’ˈ αὔξει πολύ,
ἐν τῶι ταχέωςˈ δ’ ἔνεστι παύˈσασϑαι ταχύ.
γάμον λέγειˈ τις καὶ κορὴνˈ ἐλευϑέραν·
ἕτερος τίς εἰμ’ˈ ἐνταῦϑα· πυνϑˈάνομαι γένος,
βίον, τρόπουςˈ. Εἰς πάντα τὸνˈ λοιπὸν χρόνον
μνείαν γὰρ ἤˈδη τῶι φίλωιˈ καταλείπομαι
ὡς ἂν διοιˈκήσω περὶ ταῦˈτα. ***Σώ·*** Καὶ μάλ’ εὖ
(οὐ πάνυ δ’ ἀρεσκˈόντως ἐμοίˈ). ***Χαι·*** Καὶ νῦν γε δεῖ
ταῦτα διακοῦˈσαι πρῶτον ἡˈμᾶς. ***Σώ·*** ὄρϑριον
τὸν Πυρρίανˈ τὸν συγκυνηˈγὸν οἴκοϑεν
ἐγὼ πέπομφˈα– ***Χαι·*** Πρὸς τίνα; ***Σώ·*** αὐˈτῶι τῶι πατρὶ
ἐντευξόμενονˈ τῆς παιδὸς ἢˈ τῶι κυρίωι
τῆς οἰκίαςˈ ὅστις ποτ’ ἐστˈίν. ***Χαι·*** Ἡράκλεις,
οἷον λέγειςˈ. ***Σώ·*** ἥμαρτον· οὐˈ γὰρ οἰκέτηι
ἥρμοττ’ ἴσωςˈ τὸ τοιοῦτ<ό γ’>. ἀλλ’ˈ οὐ ῥᾴδιον
ἐρῶντα συνιˈδεῖν ἐστι τί ποˈτε συμφέρει·
καὶ τὴν διατριˈβὴν ἥτις ἔστ’ˈ αὐτοῦ πάλαι
τεϑαύμακ’ˈ· εἰˈρήκειν γὰρ εὐˈϑὺς οἴκαδε
αὐτῶι παρεῖˈναι πυϑομένωιˈ τἀνταῦϑά μοι.